## TESTIMONIA SELECTA DE VITA ET OPERIBUS

**de vita**

**T1** (*Suda* ι 80 A.)
Ἴβυκος, Φυτίου, οἱ δὲ Πολυζήλου τοῦ Μεσσηνίου ἱστοριογράφου (*FGrHist* III/B *Add.* 758), οἱ δὲ Κέρδαντος· γένει Ῥηγῖνος. ἐνθένδε εἰς Σάμον ἦλθεν, ὅτε αὐτῆς ἦρχεν ὁ Πολυκράτους τοῦ τυράννου πατήρ. χρόνος δὲ οὗτος ὁ ἐπὶ Κροίσου, ὀλυμπιὰς νδ (564-561). γέγονε δὲ ἐρωτομανέστατος περὶ μειράκια καὶ πρῶτος εὗρε τὴν καλουμένην σαμβύκην· εἶδος δέ ἐστι κιθάρας τριγώνου. ἔστι δὲ αὐτοῦ τὰ βιβλία ζ τῇ Δωρίδι διαλέκτῳ. συλληφθεὶς δὲ ὑπὸ λῃστῶν ἐπὶ ἐρημίας ἔφη, κἂν τὰς γεράνους, ἃς ἔτυχεν ὑπερίπτασθαι, ἐκδίκους γενέσθαι. καὶ αὐτὸς μὲν ἀνῃρέθη· μετὰ δὲ ταῦτα τῶν λῃστῶν εἷς ἐν τῇ πόλει θεασάμενος γεράνους ἔφη· ἴδε, αἱ Ἰβύκου ἔκδικοι. ἀκούσαντος δέ τινος καὶ ἐπεξελθόντος τῷ εἰρημένῳ, τό τε γεγονὸς ὡμολογήθη, καὶ δίκας ἔδωκαν οἱ λῃσταί· ὡς ἐκ τούτου καὶ παροιμίαν γενέσθαι, αἱ Ἰβύκου γέρανοι.

|| **2** Πολυκράτους von Gutschmid : -άτης codd.

**T2** (anon. *ap. schol.* Pind. I 10 Dr.)

Ἴβυκος Ἰταλός <ἐστ'> ἐκ Ῥηγίου ἠὲ Μεσήνης
Κέρδαντος πατρός, Δωρίδα δ' ἡρμόσατο

**T3** (Euseb. (Hier.) *Chron.* Ol. 59,4 (541), p. 103b,22 H.)
*Ibycus carminum scriptor agnoscitur*

**T4** (Diogenian. 2,71, I 207 L.-S.; cf. 5,12, I 251 L.-S.)
ἀρχαιότερος Ἰβύκου: ἐπὶ τῶν εὐηθῶν. οὗτος γὰρ τυραννεῖν δυνάμενος ἀπεδήμησεν.

**T5** (Antip. Sid. *AP* VII 745 = *HE* 286ss.)

Ἴβυκε, λῃσταί σε κατέκτανον ἔκ ποτε νήσου
βάντ᾽ ἐς ἐρημαίην ἄστιβον ἠιόνα,
ἀλλ᾽ ἐπιβωσάμενον γεράνων νέφος, αἵ τοι ἵκοντο
μάρτυρες ἄλγιστον ὀλλυμένῳ θάνατον·
οὐδὲ μάτην ἰάχησας, ἐπεὶ ποινῆτις Ἐρινὺς
τῶνδε διὰ κλαγγὴν τίσατο σεῖο φόνον
Σισυφίην κατὰ γαῖαν. ἰὼ φιλοκερδέα φῦλα
ληιστέων, τί θεῶν οὐ πεφόβησθε χόλον;
οὐδὲ γὰρ ὁ προπάροιθε κανὼν Αἴγισθος ἀοιδὸν
ὄμμα μελαμπέπλων ἔκφυγεν Εὐμενίδων.

**T6** (Anon. *AP* VII 714 = *HE* 3880ss.)

Ῥήγιον, Ἰταλίης τεναγώδεος ἄκρον, ἀείδω
αἰεὶ Θρινακίου γευομένην ὕδατος,
οὕνεκα τὸν φιλέοντα λύρην, φιλέοντα δὲ παῖδας
Ἴβυκον εὐφύλλῳ θῆκεν ὑπὸ πτελέῃ,
ἡδέα πολλὰ παθόντα· πολὺν δ᾽ ἐπὶ σήματι κισσὸν
χεύατο καὶ λευκοῦ φυταλιὴν καλάμου.

**T7** (*IG* XIV 1167)
Ἴβυκος] Φυτίου Ῥηγῖνος

**T8** (*IG* XIV 2485)
Εἴβυκος. Πραξιτέλης ἐποίε[ι

**T9** (*Suda* ι 79 A.)
ἰβύκινον· μουσικὸν ὄργανον, ἀπὸ Ἰβύκου.

Cf. Plut. *Garrul.* 14, 509f, Zenob. 1,37 (I 13 L.-S.), Diogenian. 1,35 (I 186 L.-S.), Apostol. 1,85 (II 263 L.-S.), Macar. 1,50 (II 239 L.-S.), Nemes. *Nat. hom.* 42 (*PG* XL 784b), *Gnom. Vat.* 366 Stern.

**de operibus**

**T10** (Ar. *Th.* 159-163)
(ΑΓ.) ἄλλως τ᾽ ἄμουσόν ἐστι ποιητὴν ἰδεῖν
ἀγρεῖον ὄντα καὶ δασύν. σκέψαι δ᾽ ὅτι
Ἴβυκος ἐκεῖνος κἀνακρέων ὁ Τήιος
κἀλκαῖος, οἵπερ ἁρμονίαν ἐχύμισαν,
ἐμιτροφόρουν τε διεκλῶντ᾽ Ἰωνικῶς.

|| **4** καὶ διεκλῶντ᾽ Toup : κ- διεκίνων **R** : κἀχλίδων Meineke

**T11** (Philodem. *Mus.* 4, XIV 8-13 = 128,8-13, p. 243s. Delattre)
οὐδὲ τοὺς νέους τοῖς μέλεσι διαφθείροντας παρέδειξεν (*scil.* ὁ Διογένης) τὸν Ἴβυκον καὶ τὸν Ἀνακρέοντα καὶ τοὺς ὁμοίους, ἀλλὰ τοῖς διανοήμασι.

**T12** (Cic. *Tusc.* IV 71)
*quid denique homines doctissimi et summi poëtae de se ipsis et carminibus edunt et cantibus? fortis vir in sua re publica cognitus quae de iuvenum amore scribit Alcaeus! nam Anacreontis quidem tota poësis est amatoria. maxume vero omnium flagrasse amore Reginum Ibycum apparet ex scriptis. atque horum omnium lubidinosos esse amores videmus.*

**T13** (Anon. *AP* IX 184,5s. = *FGE* 1198s.)
ἡδύ τε Πειθοῦς
Ἴβυκε καὶ παίδων ἄνθος ἀμησάμενε

**T14** Stat. *Silv.* V 3,146ss.
*generosaque pubes*
*te monitore ... discere ...*
*... qua lege recurrat*
*Pindaricae vox flexa lyrae volucrumque precator*
*Ibycus.*

**T15** (*schol.* Pind. *I.* 2,1b, III 313 Dr.)
ταῦτα δὲ τείνει καὶ εἰς τοὺς περὶ Ἀλκαῖον καὶ Ἴβυκον καὶ Ἀνακρέοντα, καὶ εἴ τινες τῶν πρὸ αὐτοῦ δοκοῦσι περὶ τὰ παιδικὰ ἠσχολῆσθαι· οὗτοι γὰρ παλαιότεροι Πινδάρου.

**T16** (Ath. IV 175d = Neanth. Cyz. *FGrHist* 84 F 5)
σαμβύκην. τοῦτο δὲ τὸ ὄργανον Νεάνθης ὁ Κυζικηνὸς ἐν α Ὥρων εὕρημα εἶναι λέγει Ἰβύκου τοῦ Ῥηγίνου ποιητοῦ, ὡς καὶ Ἀνακρέοντος τὸ βάρβιτον.